**ΑΚΟΛΟΥΘΙΑ**
**ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ ΤΗΣ «ΓΑΛΑΚΤΟΤΡΟΦΟΥΣΗΣ»**
**ΚΑΙ ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΜΑΡΙΝΗΣ ΤΗΣ ΘΑΥΜΑΤΟΥΡΓΟΥ**

*Ψαλλομένη τῇ ιζ’ Ἰουλίου.*

*Συντεθεῖσα*
*ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἐπισκόποις Κυρίλλου, τοὐπίκλην Κογεράκη, Μητροπολίτου τῆς Ἁγιωτάτης Μητροπόλεως Ρόδου.*

ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ’ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α’. Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε πιστοὶ συνελθόντες, πανηγυρίσωμεν, τῆς Γαλακτοτροφούσης, τὴν τιμίαν Εἰκόνα, τιμῶντες κατὰ χρέος, ὅτι ἀεί, ἐνεργείᾳ τῆς χάριτος, τῶν ἰαμάτων τὰ ῥεῖθρα ὀμβροβλυτεῖ, εὐσεβῶν εἰς περιποίησιν.

Τῇ ἑορτῇ τῆς σεπτῆς σου, Εἰκόνος σήμερον, Γαλακτοτρόφε Μῆτερ, συνεκλάμπει ἡ μνήμη, Μαρίνης Ἀθληφόρου τῆς εὐκλεοῦς, μεθ᾿ ἧς πρέσβευε πάντοτε, ἵνα κινδύνων ῥυσθῶμεν παντοδαπῶν, νοσημάτων καὶ κακώσεων.

Ε᾿ν νεαρᾷ ἡλικίᾳ, καταπαλαίσασα, τὸν πτερνιστὴν τῆς Εὔας, μαρτυρίου τοῖς ἄθλοις, Μαρίνα Ἀθληφόρε, θείας ζωῆς, ἐκομίσω τὸν στέφανον, καὶ ἐνεργείαις θαυμάτων εὐεργετεῖς, τοὺς ἐν πίστει προσιόντας σοι.

Γαλακτοτρόφε Παρθένε, Παρθένε Ἄχραντε, μετὰ τῆς Ἀθληφόρου, πανευφήμου Μαρίνης, ἱκέτευε ἀπαύστως, τὸν δι᾿ ἡμᾶς, νηπιάσαντα Κύριον, ἡμῖν δοθῆναι πταισμάτων τὸν ἱλασμόν, καὶ τὸ μέγα αὐτοῦ ἔλεος.

Δόξα. Ἦχος πλ. δ’.

Πατρικὴν ἀσέβειαν μισήσασα, εὐσέβειαν ἠγάπησας, καὶ Ὀλυβρίου θράσος πατήσασα, νύμφη Χριστοῦ ἐκλεκτή, τῷ μαρτυρίῳ σου ἐγένου, Μαρίνα καλλιπάρθενε. Ὅθεν πρέσβευε αὐτῷ, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν τιμώντων σε.

Καὶ νῦν. Τῆς Θεοτόκου. Ὁ αὐτός.

Θεοτόκε Πάρθενε, τιθηνείας σου τὸ μυστήριον, ἐν Εἰκόνι ὁρῶντες περιγραφόμενον, τὸν νοῦν ἐξιστάμεθα, καὶ αὐτῇ προσπίπτοντες, ἐν κατανύξει βοῶμεν· Μὴ ἀποστρέψῃς ὡς Ἀγαθή, τὸ πρόσωπόν σου ἀφ᾽ ἡμῶν, τῶν εἰς σὲ τὴν ἐλπίδα θεμένων, Γαλακτοτροφοῦσα Ἀειπάρθενε.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β′. Οἶκος τοῦ Ἐφραθᾶ.

Δεῦτε τὴν ἱεράν, τῆς Γαλακτοτροφούσης, τιμήσωμεν Εἰκόνα, ἐξ ἧς ἀφθόνως ῥέει, ἡ χάρις τῶν ἰάσεων.

Στίχ. Ὑπομένων, ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Α῎θλοις μαρτυρικοῖς, δοξάσασα Μαρίνα, Χριστὸν τὸν Ζωοδότην, αὐτὸς προσήκατό σε, νύμφην αὐτοῦ ὑπέρκαλλον.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Πρέσβευε τῷ Χριστῷ, πανεύφημε Μαρίνα, μετὰ τῆς Παναχράντου, Ἁγνῆς Γαλακτοτρόφου, σωθῆναι τοὺς ὑμνοῦντάς σε.

Δόξα. Τριαδικόν.

Δόξα σοι ὁ Θεός, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, Τριὰς Ὑπεραγία· Μαρίνης ταῖς πρεσβείαις, ἐλέησον τὸν κόσμον σου.

Καὶ νῦν. Τῆς Θεοτόκου.

Χαίροις Μῆτερ Θεοῦ, Ἁγνὴ Γαλακτοτρόφε, ἡ χάριτος τὸ γάλα, παρέχουσα ἀφθόνως, Εἰκόνος ἐξ ἁγίας σου.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὰ Ἀπολυτίκια ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ «Κύριε ἐκέκραξα», ἱστῶμεν στίχ. η′ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Ὑπεραγίας Θεοτόκου δ′ καὶ τῆς Ἁγίας δ′, ὡς κάτωθι.

Στιχηρὰ Προσόμοια τῆς Θεοτόκου.
Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ω῍ τοῦ παραδόξου θαύματος! ἐν Εἰκόνι σεπτῇ, οἱ πιστοὶ ὁρῶντές σε, ὡς νήπιον ἀτελές, Χριστὸν θηλάζουσαν, μυστήριον τὸ φρικτόν, τοῦ θαυμασίου σου τόκου δοξάζομεν, καὶ ᾄδομεν εὐλαβῶς, τοῖς μεγαλείοις σου ὕμνον κραυγάζοντες· Γαλακτοτροφοῦσα χαῖρε, Μῆτερ Ἀειπάρθενε, ἡ ἀεὶ ποιουμένη, πρὸς ἡμᾶς θερμὴν τὴν πρόνοιαν.

Βαβαὶ τῆς σῆς προμηθείας Ἁγνή! σὺ γὰρ ἀναβλύζεις, θείας ἐξ Εἰκόνος σου, τὸ γάλα τὸ μυστικόν, τῆς εὐσπλαγχνίας σου, πιστοῦσα μὲν τοῖς πιστοῖς, τὰ ὑπὲρ νοῦν μεγαλεῖα τῆς δόξης σου, ἐγείρουσα δὲ ἡμᾶς, τοὺς ἀγαπῶντάς σε πόθῳ κραυγάζειν σοι· Γαλακτοτροφοῦσα χαῖρε, Δέσποινα Πανύμνητε, μητρικῶν πρεσβειῶν σου, τῇ δυνάμει ἡμᾶς σώζουσα.

Τῆς σῆς Εἰκόνος τὸ ἔκτυπον, Γαλακτοτροφοῦσα, Μῆτερ Ἀειπάρθενε, τιμῶμεν οἱ εὐσεβεῖς, ἀγαλλιώμενοι· ὁρῶμεν γὰρ ἐν αὐτῷ, τὸν Λυτρωτήν σε ὡς βρέφος θηλάζουσαν, τὸν σῴζοντα διὰ σοῦ, τοὺς ἐκ βαθέων καρδίας βοῶντάς σοι· Κεχαριτωμένη χαῖρε, ἡ τῷ ἀνεκφράστῳ σου, ἐκλυτρώσασα τόκῳ, τῆς κατάρας τὸ ἀνθρώπινον.

Χαίροις Μαριὰμ Μητράνανδρε, ἡ τὴν σὴν Εἰκόνα, σκεῦος ἀναδείξασα, τῆς θείας περὶ ἡμᾶς, κηδεμονίας σου· παρέχεις γὰρ ἐξ αὐτῆς, ἐν περισσείᾳ τὰ δῶρα σῆς χάριτος, κινδύνων καὶ πειρασμῶν, ἐξαιρουμένη τοὺς πόθῳ κρυαγάζοντας· Γαλακτοτροφοῦσα χαῖρε, Δέσποινα Θεόνυμφε, ἡ τὸν Λόγον τεκοῦσα, εἰς ἀνθρώπων ἀπολύτρωσιν.

Στιχηρὰ Προσόμοια τῆς Ἁγίας.
Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ω῍ τοῦ παραδόξου θαύματος! τὴν ἐπηρμένην ὀφρύν, τοῦ τὴν γῆν καὶ τὴν θάλασσαν, ἐξαλείφειν φάσκοντος, πρὸς τὴν γῆν ἐταπείνωσεν, ἁπαλὴ κόρη καὶ παναμώμητος, τὰς πανουργίας αὐτοῦ νικήσασα. Ὢ τῆς δυνάμεως, τοῦ Σταυροῦ καὶ χάριτος! ἥτις ἡμῶν, πᾶσαν ὑπεστήριξε, σαφῶς ἀσθένειαν.

Μάρτυς Μαρίνα πανένδοξε, τὰς οὐρανίους μονάς, ἐπαξίως οἰκήσασα, σὺν παρθένων τάγμασι, καὶ Μαρτύρων στρατεύμασι, τοὺς ἐκτελοῦντας πίστει τὴν μνήμην σου, καὶ προσιόντας πιστῶς τῇ σκέπῃ σου, σῷζε πρεσβείαις σου, καὶ πταισμάτων ἄφεσιν παρὰ Θεοῦ, αἴτησαι καὶ λύτρωσιν, καὶ μέγα ἔλεος.

Μάρτυς Μαρίνα πανεύφημε, οὔτε βασάνων τὸ πῦρ, οὐ τρυφῆς ἡ ἀπόλαυσις, οὐ τοῦ κόσμου χάριτες, οὐ τερπνότης νεότητος, τῆς πρὸς Χριστὸν ἀγάπης ἐχώρισεν, ἐφιεμένην τῆς ὡραιότητος, τῆς ὑπὲρ ἔννοιαν, τοῦ σεπτοῦ νυμφίου σου, ἐπιτυχεῖν, ἧς περ κατηξίωσαι, θεομακάριστε.

Μάρτυς Μαρίνα ἀήττητε, τοὺς προσιόντας πιστῶς, ἐν ναῷ τῷ ἁγίῳ σου, καὶ ἀνευφημοῦντάς σου, μαρτυρίου τὰ τρόπαια, ἀπὸ κινδύνων ῥῦσαι καὶ θλίψεων, νόσων παντοίων καὶ περιστάσεων· σὺ γὰρ ἐπλούτησας, χάριν πλουσιόδωρον θαυματουργεῖν, τοῖς προσκαλουμένοις σε, θερμῆς ἐκ πίστεως.

Δόξα. Ἦχος β΄.

Ε᾿ν φωνῇ ἀγαλλιάσεως, καὶ ἐν ψαλμοῖς ἀλαλαγμοῦ, ἀνυμνήσωμεν Μαρίναν τὴν Μάρτυρα· ὅτι καθεῖλεν ἐπὶ γῆς τῶν εἰδώλων τὴν πλάνην, καὶ τὸν ἀντίπαλον ἐχθρὸν ἀνδρείως ἐν τοῖς ποσὶν αὐτῆς κατεπάτησε· διὸ καὶ τελειωθεῖσα, εἰς οὐρανοὺς ἀνίπταται, τὴν κάραν στεφηφοροῦσα καὶ ἀνακράζουσα· Σὲ νυμφίε μου ποθῶ, καὶ τὸ τοῦ πόθου φίλτρον ἔχουσα, ὑπὲρ σοῦ τὰς σάρκας μου, τῷ πυρὶ παρέδωκα· κατασκηνώσω οὖν, εἰς τὰς αἰωνίους σου μονάς, ἔνθα ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία.

Καὶ νῦν. Τῆς Θεοτόκου. Ὁ αὐτός.

Σκεῦος ἡγιασμένον, τῆς μητρικῆς σου χάριτος, ἀπεργασαμένη τὴν Εἰκόνα σου, ἐξ αὐτῆς ἀναβλύζεις, τῶν θαυμάτων τὰ νάματα, εὐεργετοῦσα καὶ σώζουσα, τοὺς ἐν αὐτῇ προσιόντας, καὶ ἐκ πόθου βοῶντάς σοι· Χαῖρε Κεχαριτωμένη, Γαλακτοτροφοῦσα Παρθένε Θεόνυμφε, Ὀρθοδόξων τὸ καύχημα· μετὰ σοῦ ὁ Κύριος, ὁ διὰ σοῦ δωρούμενος ἡμῖν, τὸ μέγα ἔλεος.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Γενέσεως τὸ Ἀνάγνωσμα.
(Κεφ. κη΄ 10-17)

Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαῤῥάν, καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος. Καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλὴν αὐτοῦ· καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾿ αὐτήν· ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ᾿ αὐτῆς· καὶ εἶπεν· Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ· μὴ φοβοῦ. Ἡ γῆ, ἐφ᾿ ἧς σὺ καθεύδεις ἐπ᾿ αὐτῆς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου. Καὶ

ἔσται τὸ σπέρμα σου ὡσεὶ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ Θάλασσαν, καὶ Λίβα, καὶ Βοῤῥᾶν, καὶ ἐπὶ Ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς, καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην· ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν· Ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη καὶ εἶπεν· Ὡς φοβερὸς ὁ τόπος οὗτος! οὐκ ἔστι τοῦτο, ἀλλ᾽ ἢ οἶκος Θεοῦ· καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.
(Κεφ. μγ′ 9)

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. λα′, 10,13-20,25)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Παρθενικὴ πανήγυρις, τῇ Ἐκκλησίᾳ τῶν πιστῶν, ἐπέστη σήμερον. Δεῦτε οὖν ἀδελφοί, δαυϊτικῶς πορευσώμεθα, εἰς οἶκον Κυρίου Παντοκράτορος, καὶ προσπίπτοντες εὐλαβῶς, Γαλακτοτροφούσης τῇ Εἰκόνι, τῇ θηλαζούσῃ Παρθένῳ Μητρί, τὴν ὑμνῳδίαν προσφέρομεν, ἐν ταὐτῷ μακαρίζοντες, Μαρίναν τὴν Ἀθληφόρον, καὶ ἀνακράζοντες· Χαῖρε Κεχαριτωμένη, Μαρία Ἀειπάρθενε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρθενίας καὶ μαρτυρίου, διπλοῦν τὸν στέφανον ἀποδώσας, τῇ Μάρτυρι καὶ νύμφῃ αὐτοῦ, καὶ δι᾽ αὐτῆς παρέχων ἡμῖν, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Εὐφραίνονται σήμερον, πιστῶν χοροστασίαι, ἐπὶ τῇ θείᾳ σου μνήμῃ, Μαρίνα Ἀθληφόρε πολύαθλε· ἀσεβείας γὰρ πατρικῆς, σκοτίαν καταλιποῦσα, ἐν τῷ φωτὶ Θεοῦ τῆς γνώσεως, παρθενικοῖς ποσίν ἐπορεύθης, καὶ εἰδωλικῆς μισοθεΐας, ἐταπείνωσας τὴν αὐθάδειαν, τῇ εὐσεβεῖ ὁμολογίᾳ, τῆς πίστεως τοῦ Νυμφίου σου. Ὅθεν αὐτῷ ἁρμοσθεῖσα, διὰ βασάνων μυρίων καὶ θανάτου, πρέσβευε αὐτῷ ὑπὲρ ἡμῶν, ἵνα τύχωμεν τῶν αἰωνίων ἀγαθῶν, οἱ πόθῳ εὐφημοῦντές σε.

Ἦχος β΄.

Ἀῤῥενωθεῖσα ταῖς φρεσί, δυνάμει τῆς χάριτος, καὶ γυναικείαν ἀσθένειαν, ἔρωτι Χριστοῦ, διὰ πίστεως ἀποῤῥίψασα, Ὀλυβρίου τυράννου, ὀφρὺν κατεπάτησας, καὶ διὰ μυρίων βασάνων, ἀποτμήσει τῆς κεφαλῆς, ὡς Μάρτυς ἐστεφανώθης, Μαρίνα καλλιπάρθενε. Ὅθεν διαιωνιζούσης, τρυφῆς ἀξιωθεῖσα, καὶ τοῦ Νυμφίου ὁρῶσα, τὴν ἀτελεύτητον δόξαν, πρέσβευε αὐτῷ ὑπὲρ ἡμῶν, τῶν ἐν Ναῷ σου συνελθόντων, καὶ τελούντων τὴν μνήμην σου.

Ἦχος δ΄.

Ἐν γυναικείᾳ ψυχῇ, τὸν πολύμορφον ὄφιν, ἀνδρειοφρόνως ἐλέγξασα, καὶ τοῦτον ὡραίοις ποσί, ὡς παίγνιον καταπατήσασα, τὴν πτῶσιν τῆς Προμήτορος Εὔας, ἐν ἀσθενείᾳ φύσεως ἀνώρθωσας, καὶ μαρτυρίου ἐν στάσει, τὸν ὡραιότατον Νυμφίον, Χριστὸν τὸν Θεὸν ἡμῶν ἐδόξασας, Μαρίνα καλλιπάρθενε. Ὅθεν περισταμένη αὐτῷ, ἐν ζωῆς τῷ νυμφῶνι, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐκτελούντων τὴν μνήμην σου.

Δόξα. Ἦχος πλ. β´.

Ω῾ραιοτάτη ὡς νύμφη, διὰ μαρτυρίου ἀνδραγαθήματος, σκηνώματος τοῦ γεώδους ὑπεξελθοῦσα, κατηγλαϊσμένη, πεποικιλμένη, βασάνων τοῖς στίγμασι, σὺν μαρτυρίου τοῖς αἵμασι, εἰς νυμφῶνα μυστικόν, τῆς ἄνω βασιλείας, ὡς ἔδει σε ἔφθασας, Μαρίνα Ἀθληφόρε ἔνδοξε· ἔνθα τανῦν μετ᾽ ἐκείνων, τῶν φρονίμων παρθένων συγχορεύουσα, ἐν ἀπολαύσει τοῦ κάλλους τοῦ Νυμφίου σου, μὴ ἐλλίπῃς πρεσβεύουσα αὐτῷ, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Θεοτόκου. Ὁ αὐτός.

Θεοτόκε Παρθένε, ἀνέλαβες ἀχράντοις χερσί, Θεὸν σαρκὶ νηπιάσαντα, καὶ τοῦτον ἐγαλακτοτρόφησας. Μέγα καὶ ὑπὲρ ἔννοιαν, τὸ μυστήριον τοῦ τόκου σου! τοῦτο οὖν ἐν Εἰκόνι, περιγραφόμενον καθορῶντες, τὸν νοῦν ἐξιστάμεθα, καὶ βοῶμέν σοι· Χαῖρε Κεχαριτωμένη, Γαλακτοτροφοῦσα Θεόνυμφε· μὴ παύσῃ ὡς ἀγαθή, περιέπουσα ἡμᾶς, τοὺς ἐπὶ σὲ τὴν ἐλπίδα, ἀναθεμένους διὰ πίστεως.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος β´. Ὅτε, ἐκ τοῦ ξύλου.

Δεῦτε, φιλομάρτυρες πιστῶς, τὴν ὑπὲρ τοῦ πάντων Δεσπότου στεῤῥῶς ἀθλήσασαν, Μάρτυρα τιμήσωμεν, Μαρίναν νύμφην Χριστοῦ· παρθενίας χιτῶνι γάρ, τὸ σῶμα κοσμοῦσα, χρύσεον ὡς ὕφασμα, τούτῳ ἐπέθηκεν, αἷμα τοῦ σεπτοῦ μαρτυρίου, καὶ διπλοῖς κοσμεῖται στεφάνοις, καὶ τῷ στεφανίτῃ νῦν παρίσταται.

Στίχ. Ὑπομένων, ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Μέγα, τὸ κατόρθωμα τὸ σόν, μέγα καὶ πανάριστον ὄντως, σοῦ τὸ ἐκνίκημα· φύσις γὰρ εὐπτόητος, καὶ εὐταπείνωτος, τὸν ἀόρατον δράκοντα, τὸ ὄρος τὸ μέγα, νοῦν τὸν πολυμήχανον, Μαρίνα σὺ ἀληθῶς, εἷλες εὐτελὲς ὡς στρουθίον, καὶ καταπατοῦσα χορεύεις, νῦν μετὰ Ἀγγέλων ἀξιάγαστε.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Λόγου, τοῦ φανέντος ἐπὶ γῆς, νύμφη ἐκλεκτὴ ἀνεδείχθης, Μαρίνα σὺ ἀληθῶς, κάλλει διαλάμπουσα, ἐνθέων πράξεων, καὶ μαραίνουσα χάριτι, φυτὰ ἀθεΐας· ὅθεν τήν πανίερον, μνήμην σου σέβομεν, πόθῳ καὶ

λειψάνων τὴν θήκην, νῦν περιπτυσσόμεθα χάριν, ἐξ αὐτῆς ἰάσεων λαμβάνοντες.

Δόξα. Ἦχος πλ. δ′.

Εἰδωλικῆς ματαιότητος, πυρκαϊὰν κατασβέσασα, μαρτυρικῶν αἱμάτων ῥοαῖς, ἐν ἀθανάτῳ νυμφῶνι, ἐν Παραδείσου ταῖς αὐλαῖς, ἐν ταῖς σκηναῖς τῶν Ἁγίων, τὸν χειμάῤῥουν τῆς τρυφῆς, ἀκένωτον ἀπέλαβες, καὶ τοῦ ξύλου τῆς ζωῆς, ἐναπολαύεις εἰς τοὺς αἰῶνας, χάριν ἀπείρων θαυμάτων, ὡς νοσημάτων ἀλεξίκακον, ἀκαταπαύστως ἐνεργοῦσα, τοῖς ἐπὶ γῆς σε τιμῶσιν, καὶ ἐκτελοῦσι τὴν μνήμην σου, Μαρίνα πανεύφημε, Μάρτυς Χριστοῦ καλλιπάρθενε.

Καὶ νῦν. Τῆς Θεοτόκου. Ὁ αὐτός.

Θεοτόκε Παρθένε, Πατρὸς ἀνάρχου Λόγον, δημιουργίας τὸν αἴτιον, Ἁγίῳ Πνεύματι, ἐκ σοῦ νηπιάσαντα, ἀγκάλαις ἐβάστασας, καὶ ἐγαλούχησας· ἔνθεν τὴν Εἰκόνα σου, ἐν ᾗ περιγραφόμενον, τὸ μυστήριον τοῦτο ὁρῶμεν, θησαυρὸν τῆς δόξης σου ἀνέδειξας· ἐξ αὐτῆς γὰρ μυστικῶς, ὡς ἐκ θηλῆς πνευματικῆς, τῶν οἰκτιρμῶν σου τὸ γάλα, παρέχεις τοῖς βοῶσί σοι· Χαῖρε Κεχαριτωμένη, Γαλακτοτροφοῦσα Θεόνυμφε, μετὰ σοῦ ὁ Κύριος, Χριστὸς ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὰ Ἀπολυτίκιοα.

Ἦχος πλ. α′. Τὸν συνάναρχον Λόγον.

Τοῦ ἐχθροῦ τὰς ἐνέδρας, ῥύμῃ διέφυγες, καὶ αὐτῷ προσπλακεῖσα, ὑπερηκόντισας, καὶ ἐκ Θεοῦ τὴν δαψιλῆ, χάριν ἀπείληφας, ἀποσοβεῖν ἐκ τῶν πιστῶν, τὰς νόσους τὰς λυμαινώδεις· διὸ πρέσβευε τῷ Κυρίῳ, ὑπὲρ ἡμῶν, Μαρίνα ἔνδοξε.

Ἕτερον. Ἦχος δ′. Ταχὺ προκατάλαβε.

Πατρῴαν ἀσέβειαν, καταλιποῦσα σαφῶς, τὴν πίστιν ἐτήρησας, διὰ βασάνων πολλῶν, τῷ ξίφει ἀθλήσασα· δόξῃ ἐστεφανώθης, ἐν ζωῆς τῷ νυμφῶνι· θαύμασι παραδόξοις, ἐνεργεῖς τοῖς ἐν κόσμῳ, Μαρίνα Παρθενομάρτυς· διό εὐφημοῦμέν σε.

Τῆς Θεοτόκου. Ὅμοιον.

Εἰκών σου ἡ πάντιμος, ἐθαυμαστώθη Ἁγνή, τὰ γάλα ἐκβλύζουσα, ὡς ζωηφόρος θηλή, τῆς θείας σου χάριτος, αὔξησιν εἰς τελείαν, ἐν Χριστῷ τῷ

Σωτῆρι, ταύτῃ τῶν προσιόντων, καὶ πιστῶς ἐκβοώντων· Χαῖρε Γαλακτοτροφοῦσα, Παρθένε Μῆτερ Θεοῦ.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α′ Στιχολογίαν, Κάθισμα.
Ἦχος α′. Τὸν τάφον σου.

Μαρίναν οἱ πιστοί, τοῦ Δεσπότου τὴν νύμφην, Μαρτύρων γυναικῶν, τὸ περίβλεπτον κλέος, τὴν θαύμασιν ἐκλάμπουσαν, ἐν τῷ κόσμῳ ὡς ἥλιος, εὐφημήσωμεν, ἐν ἐγκωμίοις βοῶντες· Μάρτυς ἔνδοξε, ἡμῶν προστάτευε πάντων, τῶν πίστει τιμώντων σε.

Δόξα. Ὅμοιον.

Α᾿σέβειαν πατρός, ἀπὸ βρέφους λιποῦσα, ἠγάπησας θερμῶς, τὸν Σωτῆρα τοῦ κόσμου, καὶ τοῦτον ὡμολόγησας, τῶν τυράννων ἐνώπιον· ὅθεν θάνατον, ὑπὲρ αὐτοῦ δεξαμένη, ζωῆς ἔλαβες, ἀκαταλύτου τὴν δὀξαν, Μαρίνα πανσέβαστε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τεκμήριον τῆς σῆς, μητρικῆς συμπαθείας, ἀνέδειξας ἡμῖν, ἡλιόμορφε Κόρη, τὴν πάντιμον Εἰκόνα σου, τὸ τῆς δόξης σου σκήνωμα· ᾗ προσπίπτοντες, τῆς τιθηνείας σου πόθῳ, τὸ μυστήριον, Γαλακτοτρόφε ὑμνοῦμεν, Θεὸν μεγαλύνοντες.

Μετὰ τὴν β′ Στιχολογίαν, Κάθισμα.
Ἦχος γ′. Θείας πίστεως.

Θείῳ ἔρωτι, καταφλεχθεῖσα, κατεφρόνησας τοῦ μαρτυρίου, τῶν σφοδρῶν Μάρτυς Μαρίνα κολάσεων, καὶ ἐκτμηθεῖσα τῷ ξίφει τὴν κάραν σου, τοῦ ἀρχεκάκου τὴν κάραν συνέτριψας. Ὅθεν πρέσβευε, Χριστῷ τῷ Θεῷ πανεύφημε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Ὅμοιον.

Θεῖον ἔχουσα, Χριστὸν νυμφίον, κατεπάτησας, τοῦ Ὀλυβρίου, τὴν δεινὴν Μάρτυς Μαρίνα θρασύτητα, καὶ ἐν σταδίῳ Μαρτύρων διέπρεψας, ἀῤῥενωθεῖσα δυνάμει τῆς πίστεως. Ὅθεν κρείττονος, τυχοῦσα ἐν πόλῳ στάσεως, προστάτευε ἡμῶν τῶν εὐφημούντων σε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Θείας χάριτος, πάντιμον σκεῦος, ἀναδείξασα, δι᾽ εὐσπλαγχνίαν, τὴν σεπτὴν Γαλακτοτρόφε Εἰκόνα σου, τοὺς προσπελάζοντας ταύτῃ ἐκ πίστεως, ἐκ νοσημάτων ἐξαίρεις καὶ θλίψεων. Ὅθεν ἅπαντες, τιμῶμέν σε μεγαλύνοντες, Χριστὸν τὸν δι᾽ ἡμᾶς ἐνανθρωπήσαντα.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Α᾽θληφόρου Μαρίνης, τὰ κατορθώματα, ἀνευφημήσωμεν πάντες, δοξολογοῦντες Θεόν, τὸν τοῖς θαύμασιν αὐτὴν, ὑπερδοξάσαντα, ὡς ταπεινώσασαν στεῤῥῶς, τὸν ἀρχέκακον ἐχθρόν, τοῖς πόνοις τοῦ μαρτυρίου· καὶ γὰρ ἀπαύστως πρεσβεύει, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ὅμοιον.

Τοῦ βελίαρ ἔνεδρα, διαφυγοῦσα, ἐπετάσθης πτέρυξι, τοῦ μαρτυρίου πρὸς Θεόν, περιστερὰ ὡς οὐράνιος, Μάρτυς Μαρίνα· διὸ εὐφημοῦμέν σε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Εξ Εἰκόνος βλύζουσα, τὸ θεῖον γάλα, δωρεῶν τῆς χάριτος, πιστῶν ἐκτρέφεις τὰς ψυχάς, Γαλακτοτρόφε Πανύμνητε, τῶν προσιόντων, αὐτῇ μετὰ πίστεως.

Οἱ Ἀναβαθμοί, ἤτοι τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον
Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.
Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Εὐαγγέλιον, ζήτει τῇ κε΄ Νοεμβρίου.

Ὁ Ν΄. Δόξα. Ταῖς τῆς Ἀθληφόρου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

᾽Ιδιόμελον. Ἦχος β΄.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Μάρτυς Μαρίνα πανεύφημε, οὐρανῶν βασιλείας δρόμον, μαρτυρικῶς διοδεύσασα, καὶ τὸν πολύμορφον ὄφιν, ὡραίοις ποσὶ καταπατήσασα, Χριστῷ ἐνυμφεύθης τῷ Θεῷ ἡμῶν, ἀκηράτῳ συναφείᾳ. Αὐτὸν ἱκέτευε, ἐν παῤῥησίᾳ πολλῇ, τῇ οἰκουμένῃ εἰρήνην δωρηθῆναι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα, ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν, εἰς στ', καὶ οἱ Κανόνες τῆς Ἁγίας, εἰς η'. Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ᾿Ακροστιχὶς ἐν τοῖς Θεοτοκίοις· «Κυρίλλου».

Ὠιδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Α῾ρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτέ, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

Τροπάρια.

Η῾ ἀπειράνδρως δι᾽ ἡμᾶς κυήσασα, τὸν Ποιητὴν τοῦ παντός, καὶ αὐτὸν ὡς βρέφος, γαλακτοτροφήσασα, Χριστὸν τὸν μόνον Κύριον, λόγου δύναμιν δός μοι, ὡς ἂν ὑμνήσω τὴν δόξαν σου, Γαλακτοτροφοῦσα Πανύμνητε.

Τὰ μεγαλεῖα τῆς σεπτῆς Εἰκόνος σου, τίς εὐφημήσει Ἁγνή; ἐξ αὐτῆς γὰρ βλύζεις, τῶν θαυμάτων νάματα, ψυχῶν εἰς περιποίησιν, καὶ παθῶν θεραπείαν, τὸν προσκυνούντων ἐκ πίστεως, Γαλακτοτροφοῦσα τὸν τόκον σου.

Γάλα βλυστάνει δωρεῶν τοῦ Πνεύματος, ἡ ἱερά σου Εἰκών, ἥνπερ ὥσπερ ἄλλην, γαλουχὸν ἀνέδειξας, πνευματικὴν πρὸς αὔξησιν, τῶν ἐκ πόθου τὸ Χαῖρε, σὺν τῷ Ἀγγέλῳ βοώντων σοι, Γαλακτοτροφοῦσα Θεόνυμφε.

Καταφυγή μου ἀληθῶς καὶ δύναμις, ἡ προϊοῦσα ἀεί, ἐκ τῆς σῆς Εἰκόνος, χάρις Παντευλόγητε· αὐτὴν γὰρ ἐθαυμάστωσεν, ὁ Θεοῦ Θεὸς Λόγος, σωματωθεὶς ἐξ αἱμάτων σου, Γαλακτοτροφοῦσα δι᾽ ἔλεος.

Κανὼν τῆς Ἁγίας, ἄνευ Ἀκροστιχίδος. Ποίημα Γερμανοῦ· οἱ δὲ Ἰωάννου.

Ἦχος πλ. δ'. Ἆσμα ἀναπέμψωμεν.

Θρόνω παρεστῶσα τοῦ Χριστοῦ, Μαρίνα καλλιπάρθενε, τὸν σὸν ἀθάνατον, ἱκέτευε Νυμφίον, δοθῆναι τοῖς πίστει σου, μνήμην τὴν φωτοφόρον, ἀνυμνοῦσι τὴν ἔνθεον χάριν.

Πόθῳ θελγομένη τοῦ Χριστοῦ, βασάνων κατεφρόνησας, καὶ τὰ τερπνὰ τοῦ βίου, παρέδραμες ὡς ὄναρ· ἐντεῦθεν πανόλβιε, τῆς μὴ σαλευομένης, βασιλείας σαφῶς ἠξιώθης.

Τάξεις αἱ οὐράνιαι σεμνή, καὶ ἦχος ἑορτάζοντος, καὶ ἡ ἀνέκφραστος, ἐδέξατο λαμπρότης, ἀγῶνα νικήσασαν, τὸν τῶν ἀμιάντων, Ἀθλοφόρε Μαρίνα θεόφρον.

Θεοτοκίον.

Λόγον τεξαμένη τοῦ Πατρός, ἀφράστως ἐξ αἱμάτων σου, αὐτὸν ἱκέτευε, Πανύμνητε Παρθένε, δοθῆναι ὡς εὔσπλαγχνος, ἄφεσιν τῶν πταισμάτων, τοῖς ὑμνοῦσι τὴν δόξαν σου πόθῳ.

Κανὼν ἕτερος τῆς Ἁγίας, οὗ ἡ ᾿Ακροστιχίς ἐν τῇ θ′ ᾠδῇ· «Μέλπω». Ποίημα Θεοφάνους.

Ἦχος δ′. Θαλάσσης τὸ ἐρυθραῖον.

Μαρτύρων, περιφανῶς λαμπρότησι, περιαστράπτουσα, περὶ Θεὸν χορεύεις ἱερῶς, θεουμένη πανεύφημε, καὶ φωτισμὸν πρεσβείαις σου, παρεχομένη τοῖς ὑμνοῦσί σε.

Α᾿θλήσει, τὴν ψυχικὴν νεώσασα, Μαρίνα ἄρουραν, τοῦ μαρτυρίου στάχυν γεωργεῖς, γεωργῷ συντηρούμενον, τῷ τὴν ἰσχὺν σοι πνεύσαντι, Παρθενομάρτυς ἀξιάγαστε.

Πορφύραν, σῶν ἐξ αἱμάτων βάψασα, καὶ στολισθεῖσα φαιδρῶς, περιφανῶς τὰ ἄνω κατοικεῖς, ὡς παρθένος βασίλεια, καὶ θεϊκαῖς λαμπρότησι, Μάρτυς Μαρίνα κατηγλάϊσαι.

Ρ῾ωσθεῖσα, τοῦ παντουργοῦ πανεύφημε, δυνάμει Πνεύματος, τὸν ἰσχυρὸν ἀνδρείως συμπλοκαῖς, ἐταπείνωσας τύραννον, μεγαλαυχίᾳ χρώμενον, καὶ σοῖς ποσὶ Μάρτυς ὑπέταξας.

Θεοτοκίον.

Δοχεῖον, χωρητικὸν γεγένησαι τῆς θείας χάριτος, Θεογεννῆτορ Ἄχραντε· διό, σὲ Μαρίνα ποθήσασα, παρθενικῶς ὀπίσω σου, τῷ σῷ Υἱῷ προσαπενήνεκται.

Τῆς Θεοτόκου. Ὠιδὴ γ'. Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σὺ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Τροπάρια.

Μητρικῆς συμπαθείας, καὶ τηλαυγοῦς χάριτος, δείκνυσαι Θεόνυμφε πλήρης, ἐν τῇ Εἰκόνι σου, οἷά περ νήπιον, τὸν Λυτρωτὴν τιθηνοῦσα, τὸν δι᾽ ἀγαθότητα, ἐνανθρωπήσαντα.

Θεϊκῆς ἐπιπνοίας, τὸ μυστικὸν ἄρωμα, ὥσπερ μυροθήκη ἁγία, ἐκπνέει πάντοτε, ἡ πανυπέρτιμος, Γαλακτοτρόφε Εἰκών σου, εὐσεβῶν εὐφραίνουσα, ψυχῆς τὴν ὄσφρησιν.

Ὡς κατάκαρπον κλῆμα, ἡ σὴ Εἰκών δείκνυται, τῇ ἐπισκιάσει Παρθένε, τῆς εὐσπλαγχνίας σου, ἐξ ἧς τοὺς βότρυας, τῶν δωρεῶν σου τρυγῶντες, ᾄσματα κροτοῦμέν σοι, εὐχαριστήρια.

Ὑπερύμνητε Μῆτερ, χρεωστικῶς αἴνεσιν, ἐν ἀγαλλιάσει καρδίας, πάντες προσφέρομεν, κηδεμονίας σου, τὰς πολλαπλὰς διαδόσεις, ἐμφανῶς λαμβάνοντες, ἐκ τῆς Εἰκόνος σου.

Τῆς Ἁγίας. Οὐκ ἔστιν Ἅγιος.

Πυρὸς καὶ κολάσεων, καταπτύσασα, τῆς τρυφῆς κατηξίωσαι, Μάρτυς ἀοίδιμε, τῆς διαιωνιζούσης, ὁρῶσα τὴν ἄῤῥητον, δόξαν τοῦ Νυμφίου σου.

Τὸ χαῦνον τοῦ θήλεος, οὐκ ἐκώλυσε, τὸ στεῤῥὸν τῆς ἀθλήσεως, Μάρτυς ἐνδείξασθαι· τῆς ψυχῆς γὰρ τὸν τόνον, ἀνδρείως ἐπτέρωσε, χάριτι ὁ Κύριος.

Ὁ πάλαι τὰ ἄμετρα, φρυαττόμενος, ἐξαλείφειν τὴν θάλασσαν, κόρης θεόφρονος, ὑπὸ πόδας πατεῖται· Χριστὸς γὰρ ἐνέκρωσε, τούτου τὰ κινήματα.

Θεοτοκίον.

Ῥωσθέντες τῇ χάριτι, Θεοτόκον σε, οἱ πιστοὶ μακαρίζομεν· ὅθεν Πανύμνητε, προστατεύουσα πάντων, μὴ παύσῃ δεόμεθα, Μήτηρ ὡς φιλεύσπλαγχνος.

Ἕτερος τῆς Ἁγίας. Εὐφραίνεται ἐπὶ σοί.

Τὸ πάθος τοῦ ἀπαθοῦς, τοῦ νεκρωθέντος δι' ἡμᾶς νέκρωσιν, Μάρτυς σεμνὴ στέργουσα, τὸν μαρτυρικὸν θνήσκεις θάνατον.

Μεγίστων ἐπιτυχεῖν, ἐφιεμένη δωρεῶν Πάνσεμνε, πόνους σαρκὸς ἔφερες, ὡς ἐν ἀλλοτρίῳ τῷ σώματι.

Αἱμάτων σου σταλαγμοῖς, τῆς ἀθεΐας τὴν πυρὰν ἔσβεσας, καὶ τῶν πιστῶν ἤρδευσας, ὦ Μαρίνα Μάρτυς τὸ φρόνημα.

Ὡς Μάρτυς μαρτυρικήν, ἐνδεικνυμένη καρτερῶς ἔνστασιν, τὸν πτερνιστὴν πτέρναις σου, ταῖς ὡραιοτάταις συνέτριψας.

Θεοτοκίον.

Κυρίως καὶ ἀληθῶς, σὲ Θεοτόκον οἱ πιστοὶ σέβομεν· σὺ γὰρ Θεὸν τέτοκας, σάρκα γεγονότα Πανάμωμε.

Κοντάκιον τῆς Θεοτόκου.
Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Ὡς οἰκουμένης τὸν τροφέα γαλουχήσασαν, καὶ τὸν συνέχοντα τὰ πάντα περιστείλασαν, ἀτελὲς καθάπερ βρέφος ταῖς σαῖς ἀγκάλαις, εὐσεβῶς Γαλακτοτρόφε ἀνυμνοῦμέν σε, παριστάμενοι σὺν δέει τῇ Εἰκόνι σου, καὶ βοῶμέν σοι· Χαίροις, πάντων βοήθεια.

Ὁ Οἶκος.

Ἑορτίως τὸν ὕμνον, οἱ πιστοὶ ᾄδομέν σοι, τὴν θείαν σου τιμῶντες Εἰκόνα, καὶ ἐν αὐτῇ ὡς βρέφος Χριστόν, γαλακτοτροφοῦσαν ἐν στοργῇ Ἄχραντε, ὁρῶντές σε θαμβούμεθα, καὶ εὐλαβῶς σοι ἐκβοῶμεν·
Χαῖρε, δι᾽ ἧς ἡ χαρὰ ἐπέστη· χαῖρε, δι᾽ ἧς ὁ ἐχθρὸς ἐτρώθη.
Χαῖρε, τῶν ἐν θλίψει γλυκεῖα παράκλησις· χαῖρε, τῶν ἐν νόσοις ταχεῖα ἀνάῤῥωσις.
Χαῖρε, Μῆτερ ἡ βαστάσασα ὥσπερ βρέφος τὸν Θεόν· χαῖρε, Κόρη ἡ ἐκθρέψασα γάλακτί σου τὸν Χριστόν.
Χαῖρε, ἥδιστον κλέος εὐσεβῶν Μοναζόντων· χαῖρε, ἄφατος δόξα εὐλαβῶν Πρεσβυτέρων.
Χαῖρε, λιμὴν ἀνθρώπων ἀχείμαστος· χαῖρε, ἡμῶν προστάτις ἀκοίμητος.
Χαῖρε, τροφὸς τῶν εἰς σὲ πεποιθότων· χαῖρε, τρυφὴ τῶν εἰς σὲ ἐλπιζόντων.
Χαίροις, πάντων βοήθεια.

Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Μαρίνα Μάρτυς τοῦ Χριστοῦ, ἀνευφημοῦμέν σε πιστοί, ὅτι τὸν τύραννον ἐχθρόν, ἐν τῇ δυνάμει τοῦ Σταυροῦ, ἐν τοῖς ποσὶ κατεπάτησας γενναιοφρόνως, καὶ γέγονας ἡμῖν, ἀνδρεία πίστεως, πᾶσαν τοῦ ἐχθροῦ, πατοῦσα δύναμιν· καὶ οὐρανόθεν ἔλαβες τὸν στέφανον, τῇ κορυφῇ σου ἀοίδιμε. Χριστὸν δυσώπει, σωθῆναι πάντας, τούς τελοῦντας σὴν μνήμην.

Δόξα. Καὶ νῦν. Τῆς Θεοτόκου. Ὅμοιον.

Καταπλήττονται Ἁγνή, τὰς διανοίας οἱ πιστοί, ἐν Εἰκόνι εὐπρεπῶς, σὲ θεωροῦντες ταῖς χερσί, σωματωθέντα βαστάζουσαν τὸν Δεσπότην, καὶ τοῦτον σῶν μαζῶν, θείῳ γάλακτι, θαύματι φρικτῷ, διατρέφουσαν, καὶ ἱερῶς θαμβούμενοι εἰς αἶνον, τῶν μυστηρίων σου τρέπονται, χαῖρε βοῶντες, Γαλακτοτρόφε, Ὀρθοδόξων ἡ σκέπη.

Τῆς Θεοτόκου. Ὠιδὴ δ'. Ὁ Εἱρμός.

Σύ μου ἰσχύς, Κύριε, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικοὺς κόλπους μὴ λιπών, καὶ τὴν ἡμετέραν, πτωχείαν ἐπισκεψάμενος· διὸ σὺν τῷ Προφήτῃ, Ἀββακοὺμ σοι κραυγάζω· Τῇ δυνάμει σου δόξα φιλάνθρωπε».

Τροπάρια.

Η῾ σὴ Εἰκών, τῇ ἐνεργείᾳ τοῦ Πνεύματος, ἀνεδείχθη, στάμνος πολυτίμητος, ὡς ἀληθῶς, τῶν σῶν δωρεῶν, τὰς εὐεργεσίας, μανναδοτοῦσα ἑκάστοτε, Ἁγνὴ Γαλακτοτρόφε, τοῖς αὐτῇ προσιοῦσι, καὶ ᾀδόντων σοι ὕμνον ἐκ πίστεως.

Σὺ μητρικῶς, τὸν ἐν δρακὶ περιέχοντα, πᾶσαν κτίσιν, ἐν χερσὶ ἐβάστασας, καὶ ἐγαλούχησας θαυμαστῶς, τὸν τὴν οἰκουμένην, νεύματι μόνῳ ἐκτρέφοντα, Εἰκών σου ὡς ἐμφαίνει, τῶν χρωμάτων τῇ ὕλη, τοῖς προστρέχουσι ταύτῃ Πανύμνητε.

Ω῾ς ἀγαθῶν, πλάκα θεόγραφον ἔχοντες, τῆς Μορφῆς σου, τὸ σεπτὸν Ἐκτύπωμα, ἐν ᾗ τὸ φῶς τὸ ἡλιακόν, περιβεβλημένη, Χριστὸν βαστάζεις τὸν Κύριον, ὡς βρέφος ἐν ἀγκάλαις, δι᾿ ἡμᾶς τοὺς ἀνθρώπους, ἐξ αἱμάτων σου σάρκα φορέσαντα.

Ρ῾ύπου παθῶν, Γαλακτοτρόφε ἀπόπλυνον, τῆς ψυχῆς μου, τὸν χιτῶνα δέομαι, ἐκ τῆς Εἰκόνος σου δαψιλῶς, ἀναβλύζουσά μοι, τῆς χάριτός σου τὰ

ὕδατα, ὡς ἂν εὐσυνειδότως, τοῦ Ἀγγέλου τοῦ Χαῖρε, ὁ πανάθλιος ᾄδω τῇ δόξῃ σου.

Τῆς Ἁγίας. Ἐξ ὄρους κατασκίου.

Μεγαλοπρεπῶς, θεόφρον ἠγωνίσω, καὶ νῦν οὐρανούς, ἀξίως ἐμβατεύεις, στεφηφοροῦσα Μαρίνα Μάρτυς παρθένε, καὶ ἀνυμνοῦσα τὸν Νυμφίον σου.

Ταῖς μαρτυρικαῖς, ἀγέλαις συναγάλλῃ, καὶ παρθενικαῖς, χορείαις συνευφραίνῃ, Μάρτυς παρθένος πανεύφημε γενομένη, ἐν ἀμφοτέροις διαλάμψασα.

Τὸν ὡς ἀστραπήν, πεσόντα οὐρανόθεν, καὶ χαμαιπετῆ, γενόμενον ὡς ὄφιν, ταῖς προσευχαῖς σου κατέδυσας Ἀθλοφόρε, δοξολογοῦσα τὸν Νυμφίον σου.

Θεοτοκίον.

Σὸν παρθενικόν, Μαρία Θεοτόκε, τόκον οἱ πιστοί, δοξάζομεν ἀπαύστως· ἀλλὰ πρεσβείαις ἁγίαις σου ἡμᾶς ῥῦσαι, ἐκ τῶν κινδύνων ἱκετεύομεν.

Ἕτερος τῆς Ἁγίας. Ἐπαρθέντα σε ἰδοῦσα.

Μαρτυρίου διαλάμπουσα λαμπηδόσι, καὶ ἀφθαρσίας στέφανον, ἀναδησαμένη, χαίρουσα παρίστασαι, Χριστῷ τῷ Νυμφίῳ σου, ὦ Μαρίνα Μάρτυς πανεύφημε.

Τὸν πτερνίσαντα ἀπάτῃ τὴν πρώτην Εὔαν, μαρτυρικαῖς ἐνστάσεσι, τρέψασα καθεῖλες, δείξασα ἀνίσχυρον, καὶ χαίρουσα ἔκραζες· Δόξα τῇ δυνάμει σου Κύριε.

Σὲ τὴν ἄσπιλον ἀμνάδα καθάπερ λύκοι, οἱ δυσμενεῖς σπαράττοντες, Μάρτυς ταῖς αἰκίαις, ἄμωμον ὁλόκληρον, Θεοῦ ἀπετέλεσαν, θεῖον ἱερεῖον καὶ σφάγιον.

Τοῦ Ποιμένος θείοις ἴχνεσιν ἑπομένη, τὸ δι' αὐτὸν ὑπέμεινας, ἑκούσιον πάθος, Μάρτυς καὶ ἐσκήνωσας, εἰς μάνδραν οὐράνιον, ἔνθα τῶν Μαρτύρων τὰ τάγματα.

Θεοτοκίον.

Ἡ Πανάμωμος καὶ μόνη Ἁγιωτέρα, τῶν Χερουβὶμ φανεῖσα, τὰς ψυχὰς ἡμῶν σῶσον, πάσης περιστάσεως, τῶν πίστει ὑμνούντων σε, Ἄχραντε Παρθένε Θεόνυμφε.

Τῆς Θεοτόκου. Ὠιδὴ ε΄. Ὁ Εἱρμός.

Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον· ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Τροπάρια.

Προστασίας ὡς τεῖχος, τὴν θείαν Εἰκόνα σου ἡμεῖς εὑράμενοι, Γαλακτοτροφοῦσα, πρὸς αὐτὴν ἐν καιρῷ καταφεύγομεν, πειρασμῶν παντοίων, καὶ ἐξ αὐτῶν ἐπισκοπῆς σου, ἐνεργείᾳ λυτρούμεθα τάχιστα.

Ὥσπερ θρόνος ὁρᾶσαι, ἡλίου λαμπρότερος ἐν τῇ Εἰκόνι σου, Γαλακτοτροφοῦσα, τὸν τῆς δόξης βαστάζουσα ἥλιον, τὸν Χριστὸν ὡς βρέφος, τὸν τοῦ Ἀδὰμ τῆς ἁμαρτίας, τὴν σκοτίαν δι᾽ ἔλεος λύσαντα.

Καθορῶντες Μορφῆς σου, τὴν θείαν ἐμφέρειαν καὶ ἡλιόμορφον, πλήρη συμπαθείας, γλυκασμοῦ οὐρανίου πληρούμεθα, Γαλακτοτροφοῦσα· διὸ ἡμῶν μὴ ἐπιλάθῃ, τῶν ὑμνούντων τὸν ἄφραστον τόκον σου.

Ἴδε δεῦρο ἱλέως, ἡμᾶς τῇ Εἰκόνι σου, τανῦν προσπίπτοντας, λυτρουμένη πάντας, ἐκ κινδύνων πολλῶν τῇ πρεσβείᾳ σου, Γαλακτοτροφοῦσα· μετὰ Θεὸν γὰρ πλήν σου ἄλλην, προστασίαν ἐν βίῳ οὐκ ἔχομεν.

Τῆς Ἁγίας. Ὁ ἐκ νυκτὸς ἀγνοίας.

Ἀῤῥενωθεῖσα κόρη, καὶ γυναικείαν ἀσθένειαν ῥίψασα, πρὸς τοὺς θείους ἀγῶνας, ἐῤῥωμενεστέρως ἐχώρησας.

Τὸ εὐσταθές σου Μάρτυς, τῆς διανοίας καὶ ἄτρεπτον φρόνημα, τὴν ἀκαταστασίαν, τὴν τοῦ ἀρχεκάκου διέλυσεν.

Τῇ εἰς Χριστὸν ἐλπίδι, ἐρηρεισμένη ὡς πύργος ἀκλόνητος, διεκρούσω τοὺς ὄμβρους, καὶ τὰς τρικυμίας τοῦ δράκοντος.

Θεοτοκίον.

Θεοκυῆτορ Κόρη, ἀκαταπαύστως ὡς εὔσπλαγχνος πρέσβευε, τῷ ἐκ σοῦ τεχθέντι, ἡμῖν σωτηρίαν δωρήσασθαι.

Ἕτερος τῆς Ἁγίας. Σύ Κύριέ μου φῶς.

Φῶς γέγονας φωτί, τῷ μεγάλῳ τρανότερον, ἐγγίζουσα καὶ φωτίζεις, φωτοφόρον τὴν μνήμην, τὴν σὴν τοὺς ἑορτάζοντας.

Σοῦ μόνου καλλοναῖς, ὡς παρθένος ἐνήδομαι, σὲ Κύριε ἀγαπῶσα, σφαγιάζομαι ξίφει, Μαρίνα ἀνεκραύγαζε.

Ρ῾οῦν Μάρτυς δυσσεβῶν, ἀθεΐας ἐξήρανας, τοῖς ῥεύμασι τῶν αἱμάτων, τῶν ἀδίκως χυθέντων, καὶ πῦρ ἀπάτης ἔσβεσας.

Ο῾λόκληρον σαυτήν, τῷ Θεῷ προσενήνοχας, ἐρύθημα παρθενίας, ταῖς βαφαῖς τῶν αἱμάτων, λαμπρότερον τελέσασα.

Θεοτοκίον.

Ρ῾οῦς ἔστη τῆς φθορᾶς· ἡ Παρθένος ἀφθόρως γάρ, γεγέννηκε τὸν τὴν φύσιν, τῶν ἀνθρώπων φθαρεῖσαν, φθορᾶς ἐλευθερώσαντα.

Τῆς Θεοτόκου. Ὠιδὴ στ΄. Ὁ Εἱρμός.

Ι῾λάσθητί μοι Σωτήρ· πολλαὶ γὰρ αἱ ἀνομίαι μου, καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι· πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου».

Τροπάρια.

Α᾽νάπλεως ἀληθῶς, οἴκτου καὶ χάριτος δείκνυται, Γαλακτοτρόφε Ἁγνή, ἡ ἄχραντος ὄψις σου, τῇ θείᾳ Εἰκόνι σου, Θεὸν τιθηνοῦσα, δι᾽ ἡμᾶς ἐνανθρωπήσαντα.

Γενέσθω τοῖς ταπεινοῖς, ἡμῖν ἐν πάθεσι κάμνουσιν, ἡ χάρις ἡ ἐκ τῆς σῆς, Εἰκόνος πηγάζουσα, σωτήριον ἴαμα, Γαλακτοτροφοῦσα, Μαριὰμ Θεοχαρίτωτε.

Εὐφραίνεται εὐσεβῶς, τῶν χριστωνύμων ὁ σύλλογος, προσπίπτων σῷ θαυμαστῷ, Παρθένε Μορφώματι, ἐξ οὗ ἀναβλύζουσι, Γαλακτοτροφοῦσα, οἱ κρουνοὶ τῆς εὐσπλαγχνίας σου.

Λαμπάδα θείου φωτός, τὴν σὴν Εἰκόνα κατέχοντες, λαμπαδηφόροι αὐτήν, κυκλοῦμεν καὶ ἄπλετον, ἐκ ταύτης λαμβάνομεν, Γαλακτοτροφοῦσα, φωτισμὸν οἱ ἀνυμνοῦντές σε.

Τῆς Ἁγίας. Χιτῶνά μοι παράσχου.

Παρθένος τε καὶ Μάρτυς ἀληθής, Χριστοῦ ἐχρηματίσας, δόξῃ καὶ χάριτι, στεφομένη παρ᾽ αὐτοῦ ἀξιάγαστε.

Τοῦ βίου σου τὴν ἄστατον ἀχλύν, λιποῦσα πανεύφημε, θείας λαμπρότητος, φωτοβόλοις ἀστραπαῖς προσωμίλησας.

Τῆς ἄνω βασιλείας ἀπλανῶς, τὴν τρίβον διώδευσας, Μάρτυς πανένδοξε, κεκτημένη ὁδηγὸν τὸν Νυμφίον σου.

Θεοτοκίον.

Πταισμάτων μου διάῤῥηξον σειράς, Υἱοῦ σου τῇ χάριτι, καὶ τῆς σωτηρίας μοι, Θεοτόκε τὴν ὁδὸν εὐθυδρόμισον.

Ἕτερος τῆς Ἁγίας. Θύσω σοι.

Αἱμάτων, τῇ πλημμύρᾳ θαλάσσας ἐξήρανας, κακοπιστίας, Χριστοῦ δέ, τὴν σεπτὴν κατήρδευσας Ἐκκλησίαν, ὦ Μαρίνα Ἀθληφόρε, παρθένων τὸ καύχημα.

Α᾽βρόχως, τῶν βασάνων διῆλθες κλυδώνιον· ἀκαταπόντιστος ὅθεν, εἰς λιμένα ἄκλυστον καθωρμίσθης, καὶ τῆς ὄντως, ἀπολαύεις γαλήνης, ἀοίδιμε.

Τύπτεσθαι, ἀνηλεῶς καὶ ῥάβδοις συντρίβεσθαι, τὴν τοῦ Κυρίου ἀμνάδα, πονηρὸς διώκτης προσέταττέ σε, τεταμένην, πρὸς Χριστὸν τὴν διάνοιαν ἔχουσαν.

Ω῎ρθρισας, πρὸς Χριστὸν τὰν ἀνέσπερον ἥλιον, καὶ ταῖς αὐτοῦ φρυκτωρίαις, τὴν ψυχὴν θεόφρον σοῦ κατηυγάσθης, Ἀθληφόρε, καὶ πρὸς φῶς μετετέθης ἀΐδιον.

Θεοτοκίον.

Θάλασσαν, σπαργανώσας ὁμίχλῃ βουλήματι, κυοφορεῖται ὁ Κτίστης, ἐκ Παρθένου Κόρης Ἀπειρογάμου, ὥσπερ βρέφος, καὶ σπαργάνοις ἀῤῥήτως εἱλίσσεται.

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Παρθενίας κάλλεσι, πεποικιλμένη παρθένε, μαρτυρίου στίγμασι, στεφανωθεῖσα Μαρίνα, αἵμασιν, ἀθλητικοῖς τε ῥεραντισμένη, θαύμασι, καταλαμφθεῖσα τῶν ἰαμάτων, εὐσεβῶς Μάρτυς ἐδέξω, βραβεῖα νίκης τῆς σῆς ἀθλήσεως.

Ὁ Οἶκος.

Τῷ Νυμφίῳ Χριστῷ, ἔρωτι τῆς καρδίας σου, ἀπὸ βρέφους σεμνὴ πυρποληθεῖσα, ἔδραμες δορκὰς ὡς διψῶσα πηγαῖς ἀειρύτοις, Παρθενομάρτυς, καὶ τῇ ἀθλήσει σεαυτὴν συντηρήσασα, ἐν τῷ ἀφθάρτῳ ὄντως τοῦ Κτίστου σου, νύμφη εὐκλεής, θαλάμῳ ἔφθασας ἐστολισμένη, πεποικιλμένη, στεφανηφόρος, νικητὴς λαμπαδηφόρος, εὐθαλής, ἀφθάρτου νυμφῶνος τυχοῦσα, καὶ δεξαμένη ὡς χρυσίον, βραβεῖα νίκης τῆς σῆς ἀθλήσεως.

Μηνολόγιον.

Τῇ ιζ' τοῦ αὐτοῦ μηνός (Ἰουλίου), ἡ Σύναξις τῆς θαυματουργοῦ Εἰκόνος τῆς Ὑπεραγίας Θεοτόκου, τῆς ἐπονομαζομένης «Γαλακτοτροφούσης».

Στίχοι.

Γαλακτοτρόφε, οἰκτιρμῶν σου τὸ γάλα,
Θηλὴ ὡς θεία ἡ Εἰκών σου ἐκβλύζει.
Ἑβδομάτῃ δεκάτῃ Γαλακτοτρόφος γεραιρέσθω.

Συναξάριον

Αὕτη ἡ τιμία καὶ πανυπέρτιμος Εἰκὼν τῆς Ὑπεραγίας ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας εὕρηται ἐν τῇ σεβασμίᾳ Μονῇ τῆς Ἀγκαράθου, ὑπό τινός εὐλαβοῦς ὀνόματι Στεφάνου, τούπίκλην Νικολαΐδου, ὑπερμεσοῦντος τοῦ ιθ' αἰῶνος, ἱστορηθεῖσα, δαπάνῃ φιλοτίμῳ τοῦ Καθηγουμένου τῆς προειρημένης Μονῆς Μελετίου τοῦ Παιγνιωτάκης· κειμένη δὲ νῦν ἐν προσκυνηταρίῳ ἐν τῷ Καθολικῷ τῆς Μονῆς οὐ παύεται θαύματα ἐπιτελοῦσα πᾶσι τοῖς προσερχομένοις ἐν

εὐλαβείᾳ καὶ μετὰ πίστεως ἐπικαλουμένοις τὴν χάριν τῆς Θεομήτορος "Γαλακτοτροφούσης".

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Παρθενομάρτυρος Μαρίνης.

Στίχοι.
Χεὶρ δημίου τέμνει σε Μαρίνα ξίφει,
Χεὶρ Κυρίου χάριτι θείᾳ δὲ στέφει.

Συναξάριον.

Αὕτη ὑπῆρχεν ἐξ Ἀντιοχείας τῆς Πισιδίας, θυγάτηρ Αἰδεσίου ἱερέως τῶν εἰδώλων. Προσαχθεῖσα δὲ Ὀλυβρίῳ τῷ ἐπάρχῳ καὶ θῦσαι τοῖς εἰδώλοις καὶ ἀρνήσασθαι τὸν Χριστὸν μὴ ἑλομένη, πολλὰς ὑπέστη βασάνους· καὶ βληθεῖσα ἐν τῇ φυλακῇ, τὸν ἐπαναστάντα αὐτῇ δράκοντα προσευξαμένη διέῤῥηξε. Εἶτα ἀχθεῖσα ἐκεῖθεν καὶ ἐρωτηθεῖσα καὶ ἀσάλευτον τὴν εἰς Χριστὸν ὁμολογίαν φυλάττουσα, τὴν κεφαλὴν ἀπετμήθη. Τελεῖται δὲ ἡ αὐτῆς Σύναξις ἔνδον τοῦ Ἁγίου Μάρτυρος Μηνᾶ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Σπεράτου καὶ Βερονίκης.

Στίχοι.
Σοῖς αἵμασι, Σπεράτε, τοῖς ἐξ αυχένος,
Αἷμα τραχήλου μιγνύει Βερονίκη.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. ᾿Αμήν.

Τῆς Θεοτόκου. Ὠιδὴ ζ΄. Ὁ Εἱρμός.

Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες Παῖδες, ἐν Βαβυλῶνί ποτε, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλοντες· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τροπάρια.

Ὡ῾ς φιλόστοργος Μήτηρ, ἀληθῶς ἐδωρήσω, τιθήνην ὥσπερ ἡμῖν, τὴν θείαν σου Εἰκόνα, ἐκβύζουσαν τὸ γάλα, τῆς θερμῆς προμηθείας, εἰς σωτηρίαν ἡμῶν, Ἁγνὴ Γαλακτοτρόφε.

Μυστικῶς καταθέλγει, σῆς Εἰκόνος τὸ κάλλος, πᾶσαν Παρθένε ψυχήν· ἐν ταύτῃ γὰρ ὁρᾶσαι, καλὴ τε καὶ ὡραία, τὸν μαστόν σου προτείνουσα, τῷ σαρκωθέντι Θεῷ, Ἁγνὴ Γαλακτοτρόφε.

Ζωοπάροχον χάριν, πρυτανεύει πλουσίως, ἡ εὐαγής σου Εἰκών, τοῖς ταύτη μετὰ δέους, ὦ Γαλακτοτροφοῦσα, προσιοῦσι καὶ ψάλλουσι, τοῖς μεγαλείοις τοῖς σοῖς, ᾠδὰς χαριστηρίους.

Λαμπηδόσιν ἐνθέοις, μητρικῶν σου χαρίτων, τῶν ἐξ Εἰκόνος τῆς σῆς, ἀεὶ προερχομένων, ὦ Γαλακτοτροφοῦσα, τῆς ψυχῆς μου καταύγασον, τὸ ὀπτικὸν τηλαυγῶς, θερμῇ ἐν μετανοίᾳ.

Τῆς Ἁγίας. Ὁ ἐν ἀρχῇ τὴν γῆν.

Ο῾ παρασχών, τῇ αὐτοῦ Ἀθληφόρῳ, καταπατεῖν, τοῦ ὄφεως τὴν κάραν, εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ο῾ ἐξ Ἁγνῆς, Παρθένου ἀνατείλας, καὶ γυναικῶν, τὸ σαθρὸν ἀναῤῥώσας, εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ο῾ καθελών, τοῦ τυράννου τὸ θράσος, διὰ τῆς σῆς, Ἀθληφόρου βοώσης· Εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Η῾ ἐκλεκτή, Ἀμνὰς τοῦ Θεοῦ Λόγου, τοῖς ἐκλεκτοῖς, προβάτοις με ἐν ὥρᾳ φοβερωτάτῃ καταριθμῆσαι, ἱκέτευε τὸν ἐκ σοῦ, σαρκωθέντα Θεόν.

Ἕτερος τῆς Ἁγίας. Ἐν τῇ καμίνῳ.

Πυρὶ τῷ θείῳ, φλεγομένη πυρὸς οὐκ ἐφρόντισας· ὅθεν ἐπομβρίζεις πάντοτε τοῖς πιστοῖς, ἰαμάτων θεῖα νάματα, παθῶν ἐπήρειαν, Ἀθληφόρε Μαρῖνα ξηραίνουσα.

Πολυειδέσιν, αἰκισμοῖς ἐκφοβῶν σε ὁ τύραννος, εὗρε τὴν ψυχήν σου πέτρας ὡς ἀληθῶς, στεῤῥοτέραν· ἀνεβόας γάρ· Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Σὺ τῷ Νυμφίῳ, καθάπερ προῖκα προσήγαγες, δῆμον καὶ λαὸν πιστεύσαντα εἰς Θεόν, καὶ τῆς πλάνης ἀμαυρότητα, ταῖς φωτοβόλοις σου, θαυματουργίαις ἀποκρουσάμενον.

Θεοτοκίον.

Παρθένε μόνη, ὡς καθαρὰν σε ἀδιάφθορον, Λόγος καθαρὸς ἠγάπησε καὶ ἐκ σοῦ, ἀνεπλάσατο σαρκούμενος, κόρη τὸν ἄνθρωπον, ὁ Μαρῖναν δοξάσας τοῖς θαύμασι.

Τῆς Θεοτόκου. Ὠιδὴ η΄. Ὁ Εἱρμός.

Τὸν Βασιλέα τῶν οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγγέλων ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Ὅλη ὡραῖα, ὅλη καλὴ καὶ γλυκεῖα, ἐν Εἰκόνι σου ὁρᾶσαι Θεοτόκε, γαλακτοτροφοῦσα, ὡς βρέφος τὸν Δεσπότην.

Τὸ τῆς Μορφῆς σου, εἶδος ἀστράπτει Παρθένε, ἐν Εἰκόνι σου αὐγὰς ὑπὲρ ἡλίου, πάντας καταυγάζον, τοὺς σὲ ὑμνολογοῦντας.

Τὴν εὐαγῆ σου, Εἰκόνα δέδωκας Μῆτερ, ὡς συμβόλαιον ἡμῖν ἐγγυωμένην, τὴν σὴν προστασίαν, Ἁγνὴ Γαλακτοτρόφε.

Μὴ ἀποστρέψῃς, τὸ ἱλαρόν πρόσωπόν σου, ἀφ᾽ ἡμῶν ἀτενιζόντων μετὰ δέους, Γαλακτοτροφοῦσα, τὴν θεῖαν σου Εἰκόνα.

Τῆς Ἁγίας. Τὸν ἐν ὄρει ἁγίῳ.

Παρθενίας σφραγῖδι κοσμουμένη, καὶ Μαρτύρων ἀγῶσι λαμπομένη, δι᾽ ἑκατέρων ἔνδοξε διέπρεψας, Κύριον ὑμνοῦσα, καὶ ὑπερυψοῦσα, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἄφθορόν σου τηρήσασα τὸ σῶμα, εἰς ἀφθάρτους κατῴκησας θαλάμους, ἐν οὐρανοῖς Μαρίνα πανσεβάσμιε, Κύριον ὑμνοῦσα, καὶ ὑπερυψοῦσα, αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐωδίας ἀντιλαμβανομένη, τοῦ Νυμφίου καὶ πόθῳ τετρωμένη, διδυμεούσας χάρισι κρυαγάζεις νῦν· Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἱσταμένων, βεβαίωσις ὑπάρχεις, καὶ πεσόντων, ἀνόρθωσις Παρθένε· διὸ καταπτωθέντα με ἀνάστησον, ἵνα σε δοξάζω, τὴν Κεχαριτωμένην, εἰς πάντας τοὺς αἰῶνας.

Ἕτερος τῆς Ἁγίας. Χεῖρας ἐκπετάσας Δανιήλ.

Παρθένον καὶ σῶμα καὶ ψυχήν, Θεῷ διέσωσας, καὶ προσενήνοχας, ὡς προῖκα πάντιμον Ἔνδοξε, τὴν ἀοίδιμόν σου ἄθλησιν, καὶ εἰς νυμφῶνα

νοητὸν εἰσήχθης μέλπουσα· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥήμασι τυράννου δυσμενοῦς, ὑπηρετούμενοι, πυρὸς ἐπάξιοι, οἱ ματαιόφρονες ζῶσάν σε, τῇ πυρᾷ Μάρτυς ἐνέβαλον· ἀλλ' οὐκ ἐφλέχθης τῷ πυρί, τῆς τοῦ νυμφίου στοργῆς, θεοφόρε δροσιζομένη, καὶ τοῦτον γεραίρουσα.

Ἵστασο πρὸ βήματος Χριστόν, ἀνακηρύττουσα, Θεὸν ἀθάνατον, καθυπομείναντα σταύρωσιν, καὶ τὴν πλάνην θανατώσαντα, καὶ τὴν ἀθάνατον ζωὴν πιστοῖς παρέχοντα, τοῖς βοῶσι· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Ὤφθης ὑπερτέρα οὐρανῶν, Θεὸν οὐράνιον ἀποκυήσασα, τὸν οὐρανώσαντα Πάναγνε, γηγενῶν ὅλον τὸ φύραμα, καὶ τῆς Μαρίνης τὴν σεπτήν, μνήμην φαιδρύναντα, ᾧ βοῶμεν· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Τῆς Θεοτόκου. Ὠιδὴ θ'. Ὁ Εἱρμός.

Ε᾿ξέστη ἐπὶ τούτῳ ὁ οὐρανός, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεός, ὤφθη τοῖς ἀνθρώποις σωματικῶς, καὶ ἡ γαστήρ σου γέγονεν, εὐρυχωροτέρα τῶν οὐρανῶν· διό σε Θεοτόκε, Ἀγγέλων καὶ ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσι».

Τροπάρια.

Εἰκών σου ἐγγυᾶται ἡ εὐαγής, τοῖς πιστοῖς τὴν πολλήν σου χρηστότητα· Ὅθεν αὐτήν, πόθῳ ἀσπαζόμενοι σχετικῶς, ἐπὶ σὲ τὸ πρωτότυπον, νέμομεν ὡς ἄξιον τὴν τιμήν. Ἀλλ᾿ ὦ Γαλακτοτρόφε, ἡμῶν μὴ ἐπιλάθῃ, ἐν ταῖς εὐχαῖς σου πρὸς τὸν Κύριον.

Ε᾿φθάρη παρθενίας τὸ καθαρόν, οὐδαμῶς ἐν σοὶ Κόρη Πανάχραντε· σὺ γὰρ Θεόν, ἔτεκες καὶ ἔμεινας ἀληθής, Παρθένος· ὅθεν δίδου μοι, παρθενεύειν πάντοτε τῷ νοΐ, ἐν πίστει τῆς Μορφῆς σου, ὦ Γαλακτοτροφοῦσα, καταφιλοῦντι τὴν ἐμφέρειαν.

Θαυμάτων ἀναβλύζεις ποταμηδόν, ποταμοὺς ἐξ ἁγίας Εἰκόνος, ἀσθενειῶν, καῦμα ἀπελαύνουσα χαλεπόν, καὶ δρόσου θείας δίδουσα, ταῖς ψυχαῖς τελείαν ἀναψυχήν, τοῖς ἄξιον τὸν ὕμνον, ὦ Γαλακτοτροφοῦσα, σοῖς μεγαλείοις ἀναμέλπουσιν.

Υ῾ψόθεν συμπαθείᾳ ἐν μητρικῇ, ἐφ᾽ ἡμᾶς τοὺς ἀθλίους ἐπίβλεψον, ἱκετικῶς, ἐν Ναῷ ἑστῶτας δόξης Θεοῦ, ἐν ᾧ Εἰκών σου εὕρηται, Γαλακτοτροφοῦσα ἡ θεαυγής, παρέχουσα ἐν βίῳ, ἡμῖν τὴν εὐπραγίαν, καὶ σωτηρίαν ταῖς ψυχαῖς ἡμῶν.

Τῆς Ἁγίας. Τὸν προδηλωθέντα.

Τῇ τῆς ἀνωτάτω, Ἁγίας καὶ μακαρίας, καὶ βασιλικῆς Τριάδος, ἐντρυφᾷν θεωρίᾳ, καθαρῶς καὶ τρανῶς ἠξιώθης, Μάρτυς Ἀθληφόρε πανσεβάσμιε.

Α᾽ντὶ τῆς ὀδύνης, τῶν πόνων καὶ τῶν βασάνων, ἡ ἀγγελική σε τέρψις, ὑπεδέξατο κόρη, καὶ χαρᾶς νοητῆς μετουσία, ἔνθα τῶν Μαρτύρων αἱ λαμπρότητες.

Τῇ μαρτυρικῇ σου, χρωμένη νῦν παῤῥησίᾳ, τὸν Χριστὸν τὸν σὸν Νυμφίον, δυσωποῦσα μὴ παύσῃ, τὰς ψυχὰς τῶν πιστῶς σε ὑμνούντων, σῶσαι καὶ φωτίσαι παμμακάριστε.

Θεοτοκίον.

Δέσποινα Παρθένε, Ἁγνὴ καὶ δεδοξασμένη, μετὰ τῆς Μαρίνης, τὸν σὸν Υἱὸν καὶ Βασιλέα, καθικέτευε ἀπὸ πάσης ἀνάγκης, σῶσαι τοὺς πιστῶς σε μακαρίζοντας.

Ἕτερος τῆς Ἁγίας. Λίθος ἀχειρότμητος.

Τῶν Ἀντιοχέων ἡ πόλις, σοῦ τοῖς σπαργάνοις καὶ τοῖς ἄθλοις, Μάρτυς ἐγκαυχᾶται, τῶν ἄνω, ἡ Ἐκκλησία τῶν πρωτοτόκων δέ, μετὰ δικαίων ἔχει σου, πνεῦμα τὸ θεῖον εὐφραινόμενον.

Ι᾽δόντες σου μάρτυς Μαρίνα, τοὺς ὑπὲρ πίστεως ἀγῶνας, Ἄγγελοι ἐθαύμασαν ὅπως, ἐν γυναικείᾳ φύσει κατῄσχυνας τὸν πρὶν τὴν σὴν Προμήτορα, ἐν Παραδείσῳ θανατώσαντα.

Ω῾ς περικαλὴς Ἀθληφόρος, καὶ περιδέξιος παρθένος, στέφος ἀναπλέξω νομίμως, δικαιοσύνης, καταπατήσασα, μετὰ σαρκὸς τὸν ἄσαρκον, καὶ νικηφόρος χρηματίσασα.

Σὲ τὴν νοητὴν χελιδόνα, καὶ ἀδιάφθορον ἀμνάδα, καὶ περιστερὰν χρυσαυγοῦσας, τῷ μαρτυρίῳ ἔχουσαν πτέρυγας, καὶ πρὸς Θεὸν πετάσασαν, καὶ καταπαύσασαν γεραίρομεν.

Ἤνθησας κοιλάσιν ὡς κρίνον, ταῖς τῶν Μαρτύρων Ἀθληφόρε, ὦ Μάρτυς Μαρίνα ὡς ῥόδον, τὴν παρθενίαν εὔοσμον φέρουσα, καὶ τῷ τερπνῷ Νυμφίῳ σου, θεῖον ὀσφράδιον γεγένησαι.

Θεοτοκίον.

Φῶς ἡμῖν ἀνέτειλας μήτρας, ἐξ ἀπειράνδρου σου Παρθένε, οὗ ταῖς φρυκτωρίαις ἐνθέως, καταυγασθεῖσα φῶς ἐχρημάτισεν, ἡ τῆς χαρᾶς ἐπώνυμος, Θεοκυῆτορ Μητροπάρθενε.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἀσέβειαν μισήσασα, βρεφικῶν ἐκ σπαργάνων, εὐσέβειαν ἠγάπησας, ὡς παρθένος φρονίμη, καὶ Ὀλυβρίου τυράννου, μὴ πεισθεῖσα τοῖς λόγοις, βασάνους καθυπέμεινας, καὶ σφαγεῖσα τῷ ξίφει, ὥσπερ ἀμνάς, τῷ Θεῷ Μαρίνα συμβασιλεύεις, ὑπὲρ ἡμῶν πρεσβεύουσα, τῶν τιμώντων σε πόθῳ.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Μαρίνα μάρτυς Κυρίου, καὶ καλλιπάρθενε νύμφη, ῥῦσαι λαόν σου καὶ πόλιν, ἐκδυσωποῦσα τὸν Θεόν, ὅπως ῥυσθῶμεν οἱ πάντες, φθορᾶς ὀργῆς καὶ κινδύνων.

Θεοτοκίον. Ὅμοιον.

Ἡ θαυμαστὴ Εἰκών σου, Γαλακτοτρόφε Ἀγαθή, πνευματικὴ ὡς τιθήνη, γάλα ἐκβλύζει νοητόν, τῆς μητρικῆς χάριτός σου, πρὸς εὐσεβῶν σωτηρίαν.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. στ′ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Θεοτόκου γ′ καὶ τῆς Ἁγίας γ′, ὡς κάτωθι.

Στιχηρὰ Προσόμοια τῆς Θεοτόκου.
Ἦχος δ′. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῆς πανσέπτου Εἰκόνος σου, εὐσεβούντων τὸ ἄθροισμα, συγκροτοῦντες σήμερον τὴν πανήγυριν, τῆς ὑπὲρ νοῦν τιθηνείας σου, τὸ μέγα μυστήριον, προσκυνοῦμεν εὐλαβῶς, καὶ ἐκ ταύτης τὴν χάριν σου, ἀρυόμενοι, πρὸς ψυχῶν καὶ σωμάτων θεραπείαν, κατὰ χρέος σε ὑμνοῦμεν, Γαλακτοτρόφε Πανύμνητε.

Γαλουχοῦσαν θεώμενοι, ἐν ἁγίᾳ Εἰκόνι σε, ἀτελὲς ὡς νήπιον Ἀειπάρθενε, τὸν δι᾽ ἡμᾶς νηπιάσαντα, τὸ νοῦν ἐξιστάμεθα, καὶ προσπίπτοντες αὐτῇ, μετὰ δέους κραυγάζομεν· Χαῖρε Δέσποινα, ἡ τὸ βρότειον γένος ῥυσαμένη, τῆς ἀρχαίας καταδίκης, Πατρὸς τὸν Λόγον κυήσασα.

Ω῾ς τιθήνην οὐράνιον, ἐδωρήσω τοῖς δούλοις σου, τὴν σεπτὴν Εἰκόνα σου Μητροπάρθενε, ἀκαταπαύστως ἐκβλύζουσαν, ὡς γάλα γλυκύτατον, μητρικῶν σου δωρεῶν, τὴν ῥοήν ὑπὲρ ἔννοιαν, καὶ εὐφραίνουσαν, τοὺς ἐκ πίστεως ταύτῃ προσιόντας, καὶ ὑμνοῦντας κατὰ χρέος, Γαλακτοτρόφε τὴν δόξαν σου.

Στιχηρὰ Προσόμοια τῆς Ἁγίας. Ὅμοια.

Πολυώδυνα βάσανα ὑποστῆναι πανένδοξε, ἀνδρικῷ φρονήματι ηὐτομόλησας, καὶ τῶν Ἑλλήνων σεβάσματα, ὡς κόνιν ἐλέπτυνας, καὶ τὸν τύραννον ἐχθρόν, Ἀθληφόρε πανεύφημε, τὸν καυχώμενον, ὑπεράνωθεν ἄστρων θρόνον θεῖναι, σὺ κατῄσχυνας Μαρῖνα, καὶ τοὺς λαοὺς κατεφώτισας.

Τὸν ἀρχέκακον δράκοντα, τὸν τὴν Εὔαν γυμνώσαντα, παραβάσει πρότερον, Μάρτυς ἔνδοξε, διὰ Σταυροῦ ἀπενέκρωσας, ἀγῶσι δεσμεύσασα, τοῖς σεπτοῖς σου εὐσεβῶς, Χριστὸν δύναμιν ἔχουσα· ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Ω῞σπερ προῖκα πολύτιμον, τῷ Νυμφίῳ προσήγαγες, Ἀθληφόρε ἔνδοξε δῆμον ἅγιον, τοῖς θαυμασίοις πιστεύσαντα, οἷς πίστει ἐτέλεσας, ἀνωτέρα καὶ ποινῶν, καὶ πυρός καταφλέγοντος, καὶ στρεβλώσεων, ἐν Χριστῷ δεικνυμένη τῷ τὴν νίκην, οὐρανόθεν σοι Μαρίνα, θεουργικῶς χορηγήσαντι.

Δόξα. Ἦχος πλ. β΄.

Α᾿θλητικὴν ὁδεύσασα ὁδόν, προγονικὴν ἐξέφυγες βουλήν, Μαρίνα πανσεβάσμιε· καὶ ὡς μὲν παρθένος φρονίμη, λαμπαδηφόρος εἰσῆλθες εἰς τὰς αὐλὰς τοῦ Κυρίου σου· ὡς δὲ Μάρτυς ἀνδρεία, χάριν ἔλαβες, ἀπελαύνειν πᾶσαν νόσον ἐξ ἀνθρώπων. Ἀλλὰ καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, ψυχικῶν ἀλγηδόνων ἐλευθέρωσον, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Καὶ νῦν. Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ε᾿θαυμαστώθη ὑπὲρ νοῦν, Εἰκών σου ἡ ὑπέρτιμος, Γαλακτοτροφοῦσα Θεονύμφευτε· ἐν ταύτῃ γὰρ ἡ χάρις σου, ἀνεκφοίτητος μένουσα, τῶν

θαυμάτων ἐνεργεῖ τὰ παράδοξα, νοσήματα θεραπεύουσα, κινδύνους ἀποσοβοῦσα, καὶ πᾶν δώρημα τέλειον, τοῖς εὐσεβέσι πρυτανεύουσα. Ὅθεν αὐτῇ προσπίπτοντες, ἐκ καρδίας ἱκετεύομεν· Μὴ ἀποστρέψης ἀφ᾽ ἡμῶν, τὸ ἱλαρὸν πρόσωπόν σου, τῶν εἰς σὲ τὴν ἐλπίδα θεμένων, τῇ Μητρί καὶ γαλουχῷ, Χριστοῦ τοῦ Θεοῦ, τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῆς Θεοτόκου ἡ γ′, ἐκ δὲ τῆς Ἁγίας στ′ Ὠιδή. Ἀπόστολον τῆς Θεοτόκου ζήτει τῇ κα′ Νοεμβρίου καὶ Εὐαγγέλιον τῆς Ἁγίας τῇ ια′ Ἰουλίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. ᾿Αλληλούϊα.

Μεγαλυνάρια.

Δεῦτε ἀσπασώμεθα οἱ πιστοί, Γαλακτοτροφούσης, τὴν Εἰκόνα τὴν θαυμαστήν· πᾶσι γὰρ βλυστάνει, ὡς μυστικὴ τιθήνη, χαρίτων σωτηρίων, γάλα τὸ ἄδολον.

Χαίροις Ἀθληφόρε τοῦ Ἰησοῦ, πάνσεμνε Μαρίνα, μαρτυρίου ἄνθος τερπνόν· χαίροις ἡ θαυμάτων, τὴν χάριν δεξαμένη, εἰς σωτηρίαν πάντων, τῶν εὐφημούντων σε.

Στίχοι.

Κύριλλος Ῥόδου ὁ Κρὴς Μητροπολίτης,
Πίστει σὺν πόθῳ σὲ Γαλακτοτροφοῦσα,
Ἅμα Μαρίναν τὴν Μάρτυρα παρθένον,
Ὕμνησεν ὕμνοις διὰ γλώσσης ἀτέχνου.

Ἐτελειώθη ἡ Ἀκολουθία αὕτη
τῆς Ὑπεραγίας Θεοτόκου τῆς ἐπονομαζομένης «Γαλακτοτροφούσης»
καὶ τῆς Ἁγίας ἐνδόξου Μεγαλομάρτυρος Μαρίνης
Μηνὶ Δεκεμβρίῳ, τῇ κγ′, ἐν ἔτει δισχιλιοστῷ καὶ δεκάτῳ ἑβδόμῳ.